ϲτεφθε]ῖ̣ϲιν ἄ[ν]θεα
χρυϲέ]αν δόξαν πολύφαντον ἐν αἰ-
ῶνι] τ̣ρέφει παύροιϲ βροτῶν
α]ἰ̣εί, καὶ ὅταν θανάτοιο
κῡάνεον νέφοϲ καλύψηι, λείπεται
ἀθάνατον κλέοϲ εὖ ἐρ-
χθέντο̣ϲ ἀϲφαλεῖ ϲὺν αἴϲᾱι.

Γ′
τῶν καὶ ϲὺ τυχὼν Νεμέᾱι,
Λάμπωνοϲ υἱέ,
πανθαλέων ϲτεφάνοιϲιν
ἀνθέων] χαίταν [ἐρ]εφθείϲ
. . . . . .]π̣όλιν ὑψιάγυιαν
. . . . . . . τε]ρψιμ̣[β]ρ̣ότων
.[. . . . . . . . .] ἁδ̣[υπν]όων
κώμ̣[ων] π̣ατρ̣[ώια]ν
νᾶϲο[ν], ὑπέρβι[ον] ἰϲχύν
παμμαχίαν ἄνα φαίνων.
ὦ ποταμοῦ θύγατερ
δινᾶντοϲ Αἴγιν᾽ ἠπιόφρον,
col 29 (25) ἦ τοι μεγάλα̣ν [Κρονίδαϲ
ἔδωκε τιμάν